# Appendix

## No. 1: = L. Jonnes - M. Ricl, EA 29 (1997) 1–30,

Ἀγαθῆι τύχηι·
Βασιλεὺς Εὐμένης Τοριαιτῶν τοῖς κατοικοῦσι
χαίρειν· οἱ παρ’ ὑμῶν ἄνδρες Ἀντιγένης, [Β]ρέννος,
῾Ηλιάδης, οὓς ε῾πέμψατε συνησθεσομένους μὲν ἡ-
μῖν ἐπὶ τῶι καταπεπραχότας πάντα παρεῖναι ὑγι-
αίνοντας εἰς τὸν τόπον - ἐφ’ οἷς δὴ καὶ χαριστήρια τοῖ[ς]
θεοῖς ἀποδιδόντες π[ρο]σηγάγετε τὰς καθηκούσα[ς]
θυσίας, ἀξ[ι]ώσαντας δὲ δι’ ἣν εἰς τὰ ἡμέτερα πρά-
γματα ἔχετε εὔνοιαν ἐπιχωρηθῆναι ὑμῖν πολιτεῖαν
τε καὶ νόμους ἰδίους καὶ γυμνάσιον καὶ ὅσα τούτοις ἔστι
ἀκόλουθα, ...
... Ἐγὼ δὲ ἐθεώρουμ μὲν οὐκ εἰς μικρὰ
διαφέρον ἐμοὶ τὸ συνχωρῆσαι τὰ ἀξιούμενα, πρὸ[ς] με[ί]-
ζονα δὲ καὶ πολλὰ πράγματα ἀνῆκον· καὶ γὰρ νῦν ὑμ[ῖν]
γένοιτ’ ἂν βεβαία παρ’ ἐμοῦ δο[θ]εῖσα, ἐκτημένου κυρ[ί]-
ως διὰ τὸ παρὰ τῶν κρατησάντων καὶ πολέμωι καὶ σ[υν]-
θήκαις εἰληφέναι Ῥωμαίων, ἀλλ’ ου῾κ ἡ γραφεῖσα ὑπὸ
τῶν μὴ κυριευόντων· ...
Πειρᾶσθε οὖν, τηλικούτων τετευχότες παρ’ ε῾[μο]ῦ τιμί-
[ω]ν, ἀποδείκνυσθαι διὰ τ[ῶ]ν ἔργων ἀληθινῶς τὴν ε[ὔν]οιαν
ἐν ἅπασι τοῖς καιροῖς. vacat
...

## No. 2: = Gauthier (1989)

...
B Βασίλισσα Λαοδίκη Σαρδιανῶν τῆι βουλῆι καὶ δήμωι χαίρειν·
Μητρόδωρος καὶ Μητροφάνης καὶ Σοκράτης καὶ Ἡρακλείδης οἱ παρ’ ὑμῶν
πρεσβευταὶ ἀπέδωκαν τὸ ψήφισμα καθ’ ὃ τέμενός τε Λαοδίκειον ἀνεῖναι
ψηφίσαισθε καὶ βωμὸν ἱδρύσασθαι, ἄγειν δὲ καὶ πανήγυριν Λαοδίκεια
καθ’ ἕκαστον ἔτος ἐν τῶι Ὑπερβερεταίωι μηνί τῆι πεντεκαιδεκάτηι
καὶ πονπὴν καὶ θυσίαν συντελεῖν Διὶ Γενεθλίωι ὑπὲρ τῆς τοῦ ἀδελφοῦ
ἡμῶν βασιλέως Ἀντιόχου καὶ τῆς ἡμετέρας καὶ τῶν παιδίων *vac.*
σωτηρίας, καὶ οἱ πρεσβευταὶ δὲ παρεκάλουν ἀκολούθως τοῖς ἐν
τῶι ψηφίματι κατακεχωρισμένοις, τάς τε δὴ τιμὰς ἀποδε-
[δ]έγμεθα ἡδέως καὶ τὴν τοῦ δήμου προθυμίαν ἐπαινοῦμεν
[καὶ πειρασό]μεθα ἀεί τι ἀγαθὸν συνκατασκευάζειν τῆι πό-
[λει· ἀπαγγελ]οῦσι δὲ περὶ τούτων καὶ οἱ πρεσβευταί. *vac.*
θϙ’ ἔτους Πανήμου ι’.
...

## No. 3: = Errington EA 8, 1986, 1

Βασιλευόντων Ἀντιόχου καὶ Ἀντιόχου
τοῦ υἱοῦ ε ι καὶ ρ’ Γορπιαίου· ἐπὶ τοῖσδε
συνέθετο Ζεῦξις τε ὁ ἀπολελειμμένος ὑ-
πὸ τοῦ βασιλέως Ἀντιόυχου ἐπὶ τῶν ἐπιτάδε
τοῦ Ταύρου πραγμάτων καὶ Φιλιππεῖς διὰ τῶν
ἀποσταλέντωμ πρεσβευτῶμ παρὰ τῆς πόλε-
ως Ἀνδρονόμου Σωτάδου, Ἀντιόχου Ξένωνος ἐ-
φ’ ὧι ἔσονται Φιλιππεῖς φίλοι καὶ σύμμαχοι Ἀντιό-
[χ]ου τε τοῦ βασιλέως καὶ τῶν ἐκγόνων αὐτοῦ
[κ]αὶ συντηρήσουσιν τὴν τε φιλίαγ καὶ συμμαχί-
[αν] εἰς ἅπαντα τὸν χρόνον ἀδόλως καὶ ἀπ[ρο]φ[ασί-]
[στως ...]

No. 4: = Errington EA 21, 1993, 24 (with ammendments of Brixhes, BE 1995, 526)

[ - - - - - - - -] ταῖς ἀρχαιρεσ̣ι̣ά̣ι̣ς.πρώτ̣ους κόσμους τρεῖς, μετὰ δὲ
[τούτους] π̣ρ̣ο̣σ̣τάτας τοῦ δη̣μ̣ο̣υ̣.γ̣΄, τὴν δὲ αἵρεσιν εἶναι τῶν ἀρχείων
τούτωμ προ̣ς̣.μέρος ἀπὸ τῶμ.φυλ̣ῶν, ἐπιτετάχθαι δὲ τοῖς μὲγ κόσ-
μοις ὅσα πρὸς τὴν τῆς πολέως.καὶ τῆς χώρας φυλακὴν ἀνήκει καὶ
τὰς κλεῖδας παραδίδοσθαι το̣ύ̣τ̣οις, εἶναι δὲ πρὸς τούτους καὶ τὴν
τῶμ φρουρίων ἐπιμέλειαγ κα̣ὶ.τὰ κατὰ τὰς στρατείας καὶ ὅσα κατὰ
τὴν συνθήκην τὴμ περὶ τῆς.συμμαχίας τῆς συντεθειμένης
πρὸς βασιλέα μέγαν Ἀντίοχον διὰ Ζεύξιδος, μὴ εἶναι δὲ ἄλλο ἀρχεῖ-
ομ μηθὲν κυριώτερον τούτου πλὴν τῆς βουλῆς μηδὲ τετάχθαι
τούτους ὑπ' ἄλλομ μηθένα, το̣ῖ̣ς δὲ προστάταις τὰ κατὰ τοὺς χρημα-
τισμοὺς ἐπιτετάχθαι καὶ εἴ̣ τ̣ι.ἄλλο ἐν τοῖς νόμοις διατέτακται,
γράμματα δὲ ἅμ που δέηι πέμπεσθαι ὑπὲρ τῆς πολέως ἢ ὑπὲρ ἄλλου
τινὸς διὰ τῶν ἀρχείων τούτ̣ων ἐξαποστελλέσθω γραφόμενα ἐ-
[πί τε] τ̣ῶ̣γ κόσμων καὶ τῶμ προστάτωμ, μὴ ἐξουσία δὲ ἔστω μηδὲ ο-
[ποτέρωι] τ̣ῶν ἀρχείων τούτωγ καθ' ἰδίαγ γράμματα πέμπειν, μὴ-
[δεὶς δὶς τὰ αὐ]τ̣ὰ ἀρχεῖα αἱρεῖσθαι πρὸς μέρος ἀπὸ τῶμ φυλῶν·
[αἱρεῖσθαι δὲ καθ' ἕ]κ̣αστον ἐνια̣υ̣τ̣ὸν ἐν ἀρχαιρεσίαις πρὸς μέρος
[ἀπὸ τῶν φυλῶν τὸν στ]εφανή[φορον καὶ ἱερέ]α τοῦ Διὸς τοῦ Κρηταγε-
[νοῦς καὶ Δικτύννης - - - - - - - - - - - - - - -] ὑ̣π̣ο̣[ - - - - - -
]ου̣.κ̣α̣ι̣.

No. 5: = *IK* 6 no. 4; cf. Ma (1999) 87

A [ ]ε[ ]ια[ ἐν]
[τοῖς ψηφίσμασι τοῖ]ς ὑπεράνω γεγραμμένο[ις· τοῦ δὲ δή]-
[μου ζητοῦντος] καὶ κατακαλουμένου μετὰ πάσης φ[ιλο]-
[τιμίας τοὺς] ἐπιδώσοντας ἑαυτούς, καὶ ψηφισαμένου [ἵ]-
[να τοῖ]ς πρεσβεύσασιν ὑπὲρ τῆς πόλεως πρός τε
[Μασσαλι]ήτας καὶ Ῥωμαίους τίμιόν τι ὑπάρξει παρὰ τοῦ
[δήμου κ]αὶ ἵνα, ὅταν ἐπανέλθωσιν οἱ πρεσβευταί, προβο[υ]-
[λεύσει ἡ β]ουλὴ καθότι τιμη[θ]ήσονται, καὶ προβληθέντ[ων]
[τινῶν καὶ] οὐχ ὑπομενόντων, ἐνίων δὲ καὶ χειροτονηθέ[ν]-
[των καὶ ἐξο]μοσαμένων διὰ τὸ μέγεθος τῆς κομιδῆς [καὶ]
[τῆς δαπάν]ης, Ἡγησίας προβληθεὶς ἀντὶ τοῦ ἐξομόσασ-
[θαι καὶ παρακ]ληθεὶς καὶ ἀξιωθεὶς ὑπὸ δήμου οὐδ[ὲν]
[φροντίσας τῶν] κατὰ τὴν ἐκγδημίαν (!) κινδύνων, ἀλλ[ὰ ἐν]
[ἐλάσσονι θέμε]νος τὰ καθ' αὑτὸν τοῦ τῆι πόλει συμφέ[ρον]-
[τος ἐπεδέξατο] τὴν πρεσβείαν, καὶ ἐγδημήσας καὶ πα[ραγε]-
[νόμενος εἰς τὴν] Ἑλλάδα, ἐντυχὼν μετὰ τῶν συμπρ[εσ]-
[βευτῶν τῶι στ]ρατηγῶι τῶν Ῥωμαίων τῶι ἐπὶ τῶν ναυ[τι]-
[κῶν Λευκίωι ἀ]πελογίσατο αὐτῶι διὰ πλειόνων διότι σ[υγ]-
[γενὴς ὢν κα]ὶ φίλος ὁ δῆμος τοῦ Ῥωμαίων δήμου ἐξαπέσ[τει]-
[λεν αὐτοὺς] πρὸς αὐτόν, καὶ διότι ἀξιοίη αὐτὸν καὶ παρα[κα]-
[λοίη μετὰ τῶν σ]υμπρεσβευτῶν, ὄντων ἡμῶν συγγενῶν τῶ[ν Ῥω]-
[μαίων, προνοεῖ?]ν περὶ τῆς πόλεως ἡμῶν, ἵνα συντελῆτα[ι ἃ ἂν]
[εἶναι δοκῆι] λυσιτελῆ τῶι δήμωι· ...
B [. . . . . . . . . .] κα̣ι̣.ὑπὲρ ὧν εἶχεν τὰ ψηφίσματα, πλε̣ύ̣[σας καὶ
[εἰς Μασσαλ]ίαν πλοῦν πολὺν καὶ ἐπικίνδυνον, ἐπ[ελθὼν ἐπὶ]
[τοὺς ἑξακο]σίους παρεστήσατο αὐτοὺς καὶ ἔπραξ[εν ὅπως]
[τύχοι πρεσβ]ευτῶν εἰς τὸ συμπρεσβεύσασθαι μεθ' α[ὑτοῦ ὑπὲρ]
[τῆς πόλεως εἰ]ς Ῥώμην· κρίναντες δὲ χρήσιμον εἶναι ἀξιώ[σαντες
ἔλα]-
[βον παρὰ τῶν] ἑξακοσίων συμφέρουσαν ἐπιβολὴν ὑ[πὲρ τοῦ δή]-
[μου πρὸς τὸν δῆμ]ον τῶν Τολοστοαγίων Γαλατῶν· διακομ[ισθεὶς δὲ
εἰς]
[Ῥώμην μετὰ τ]ῶν συμπρεσβευτῶν καὶ τῶν συναποστ[αλέντων]
[αὐτῶι ἐκ Μασσα]λίας, καὶ χρηματίσας τῆι συνκλήτωι μετ[ὰ τούτων]
[τῶν δηλωσάν]των τὴν εὔνοιαν καὶ τὴν αἵρεσιν ἣν ἔχ[οντες δια]-
[τελοῦσι πρὸς αὐ]τοὺς καὶ ἀνανεωσαμένων τὴν ὑπάρχο[υσαν αὐ]-

[τοῖς φιλίαν πρὸς] αὐτούς, ...
... καὶ ἐγ[λιπαρησάν]-
[των? τῶν πρεσβ]ευτῶν ὅπως συμπεριληφθῶμεν [ἐν ταῖς]
[συνθήκαις] ταῖς γενομένοις Ῥωμαίοις πρὸς τὸμ [β]α[σιλέα Φίλιππον],
[ἡ σύγκλητος περι]έλαβεν ἡμᾶς ἐν ταῖς συνθήκαις πρ[ὸς τὸμ βα]-
[σιλέα, καθό]τι καὶ αὐτ̣ο̣[ὶ] γράφουσιν· περὶ δὲ τῶν σ[υμπάντων ἄλ]-
[λων ἀνήγαγ]εν αὐτοὺς ἡ σύγκλητος πρὸς τὸν [τῶν Ῥωμαί]-
[ων στρατηγ]ὸν ὕπατον Τίτον καὶ τοὺς δέκα τοὺς ἐ[πὶ τῶν τῆς Ἑλλά]-
[δος πραγμάτω]ν· καὶ παραγενόμενος εἰς Κόρινθον με[τὰ - - - ]
[ - - - καὶ Ἀπο]λλοδώρου ἐνέτυχεν τῶι στρατηγῶι [καὶ τοῖς]
[δέκα, καὶ δια]λεγεὶς αὐτοῖς ὑπὲρ τοῦ δήμου καὶ πα[ρακαλέ]-
[σας μετὰ πάσης] φιλοτιμίας ἵνα πρόνοιαν ποιῶνται [ὑπὲρ ἡμῶν]
[καὶ συμβάλλω]νται εἰς τὸ διασώιζεσθαι τὴμ πόλιν [ἡμῶν αὐ]-
[τονομουμένην] καὶ δημοκρατουμένην· περὶ ὧν καὶ ἔλ[αβε δόγ]-
[μα φιλάνθρωπο]ν καὶ ἐπιστολὰς πρὸς τοὺς βασιλεῖ[ς - - - ]
[γνοὺς συμφερο]ύσας αὐτῶι εἶναι διαπέστειλεν[ - - - ]
[ - - - ὁ δῆμ]ος, καθότι προεψηφίσ[ατο - - - ]

No. 6: = Sherk *RDGE* 34

῾Ρωμαίων.
Μᾶρκος Οὐαλάριος Μάρκου στρατηγὸς καὶ
δήμαρχοι καὶ ἡ σύνκλητος Τηίων τῆι βουλῆι καὶ τῶι
δήμωι χαίρειν· **v** Μένιππος ὅ τε παρ’ Ἀντιόχου τοῦ βα-
σιλέως ἀποσταλεὶς πρὸς ἡμᾶς πρεσβευτὴς προ-
χειρισθεὶς καὶ ὑφ’ ὑμῶν πρεσβεῦσαι περὶ τῆς πόλεως,
τό τε ψήφισμα ἀνέδωκεν καὶ αὐτὸς ἀκολούθως τούτωι
διελέχθη μετὰ πάσης προθυμίας· ἡμεῖς δὲ τόν τε ἄν-
δρα ἀπεδεξάμεθα φιλοφρόνως καὶ διὰ τὴν προγεγενη-
μένην αὐτῶι δόξαν καὶ διὰ τὴν ὑπάρχουσαν καλοκα-
γαθίαν περί τε ὧν ἠξιου διηκούσαμεν εὐνόως. καὶ ὅτι
μὲν διόλου πλεῖστον λόγον ποιούμενοι διατελοῦ-
μεν τῆς πρὸς τοὺς θεοὺς εὐσεβείας, μάλιστ’ ἄν τις στο-
χάζοιτο ἐκ τῆς συναντωμένης ἡμεῖν εὐμενείας
διὰ ταῦτα παρὰ τοῦ δαιμονίου· οὐ μὴν ἀλλὰ καὶ ἐξ ἄλ-
λων πλειόνων πεπείσμεθα συμφανῆ πᾶσι γεγονέναι
τὴν ἡμετέραν εἰς τὸ θεῖον προτιμίαν. διὸ καὶ διά τε ταῦ-
τα καὶ διὰ τὴν πρὸς ὑμᾶς εὔνοιαν καὶ διὰ τὸν ἠξιω[μέν]ον
πρεσβευτὴν κρίνομεν εἶναι τὴν πόλιν καὶ τὴγ χώ-
ραν ἱεράν, καθὼς καὶ νῦν ἐστιν, καὶ ἄσυλον καὶ ἀφορο-
λόγητον ἀπὸ τοῦ δήμου τοῦ Ῥωμαίων καὶ τά τε εἰς
τὸν θεὸν τίμια καὶ τὰ εἰς ὑμᾶς φιλάνθρωπα πειρασό-
μεθα συνεπαύξειν, διατηρούντων ὑμῶν καὶ εἰς τὸ
μετὰ ταῦτα τὴν πρὸς ἡμᾶς εὔνοιαν. **vv** Ἔρρωσθε.